τὸ Λυσάνδρας κάλλος, ἀλλὰ συνδιακεκαυμένῳ καὶ γέ-
μοντι πυρὸς ἤδη πολὺν χρόνον [ὁ] πλησιάζων καὶ ἁπτό-
μενος ἀναπίμπλαται· καὶ δῆλός ἐστιν, εἰ μὴ ταχὺ φύγοι
πρὸς ἡμᾶς, συντακησόμενος. ἀλλ' ὁρῶ' εἶπε 'γινόμενον
ὅπερ ἂν μάλιστα σπουδάσειεν Ἀνθεμίων, προσκρούοντα
E τοῖς δικασταῖς καὶ ἐμαυτόν, ὥστε παύομαι.' καὶ ὁ Ἀν-
θεμίων 'ὤνησας' εἶπεν, 'ὡς ἔδει γ' ἀπ' ἀρχῆς λέγειν
τι πρὸς τὴν ὑπόθεσιν.'

7. 'Λέγω τοίνυν' ὁ Πεισίας ἔφη, 'προκηρύξας ἐμοῦ † γ'
ἕνεκα πάσαις γυναιξὶν ἂν ἐραστήν, ὅτι τῆς γυναικὸς ὁ
πλοῦτός ἐστι φυλακτέος τῷ νεανίσκῳ, μὴ συμμίξαντες
αὐτὸν ὄγκῳ καὶ βάρει τοσούτῳ λάθοιμεν ὥσπερ ἐν χαλκῷ
κασσίτερον ἀφανίσαντες. μέγα γάρ, ἂν ἐλαφρᾷ καὶ λιτῇ
γυναικὶ μειρακίου συνελθόντος εἰς ταὐτὸν ἡ κρᾶσις οἴνου
δίκην ἐπικρατήσῃ· ταύτην δ' ὁρῶμεν ἄρχειν καὶ κρατεῖν δο-
κοῦσαν· οὐ γὰρ ἂν ἀπορρίψασα δόξας καὶ γένη τηλικαῦτα
F καὶ πλούτους ἐμνᾶτο μειράκιον ἐκ χλαμύδος, ἔτι παιδα-
γωγεῖσθαι δεόμενον. ὅθεν οἱ νοῦν ἔχοντες αὐτοὶ προΐεν-
ται καὶ περικόπτουσιν ὥσπερ ὠκύπτερα τῶν γυναικῶν